# ὑπόθεσις Ἑλένης

Τινὲς λέγουσιν, ὡς ὅτι καὶ τὸν λόγον τοῦτον ἔγραψε πρὸς Πολυκράτην, ἐπιλαμβανόμενος αὐτοῦ καὶ ἐν τούτῳ. Οὐκ ἔστι δέ, καὶ γὰρ τὸ ἐναντίον συνέβη· ἐκεῖνος γὰρ ὁ Πολυκράτης ἐπελάβετο τοῦ Ἰσοκράτους, ὡς κακῶς γράψαντος τὸν λόγον τοῦτον, ὥσπερ αὐτὸς ἐκείνου ἐπελάβετο ἐν τῷ Βουσίριδι. Ἀλλὰ τί οὖν ἐροῦμεν; Λέγομεν ὅτι Γοργίου ἐπιλαμβάνεται τοῦ Λεοντίνου τοῦ ἐνεγκόντος τὴν ῥητορικὴν εἰς τὴν Ἑλλάδα, ὡς κακῶς γράψαντος, ὡς καὶ αὐτὸς ἐν τοῖς προοιμίοις δηλοῖ ὑποκατιών. Βέλτιον δὲ λέγειν, ὥσπερ ὁ Μαχάων, ὅτι πρὸς Ἀναξιμένην τὸν Λαμψακηνὸν γράφει· φέρεται γὰρ ἐκείνου λόγος, Ἑλένης ἀπολογία μᾶλλον οὖσα ἤπερ ἐγκώμιον. Ἐπαινεῖ μὲν γὰρ αὐτόν, καθὸ καλὴν ὑπόθεσιν προείλετο γράφων περὶ Ἑλένης, ψέξας δὲ διὰ πολλῶν ἐν τοῖς προοιμίοις φιλοσόφους τινὰς τοὺς μὴ αἱρουμένους τοιαύτας τινὰς καλὰς ὑποθέσεις γράφειν, ἀλλ᾽ ἁπλῶς ἄτοπά τινα καὶ παράδοξα λέγειν ἐπιχειροῦντας μηδεμίαν ὄνησιν ἔχοντα, ἅτινα καὶ διεξέρχεται.

---

Π N S

---

**Inscriptio** ὑπόθεσις ἑλένης NS : om. Π  **1** τοῦτον om. Π  πολυκάτην Π[it], -ρ- Π[1sl]  **2** ἐστὶ N  **3** ὁ om. Benseler, *Orationes*, I, p. LX  **4** αὐτὸς om. N  ἐν τῷ] αὐτῷ Π  **8** γὰρ] δὲ N  **9** καλὴν bis scr. S[ac], prius del. S[1]  **10** γράφειν coni. Mustoxydis, *Sylloge*, fasc. 2, p. 6  ψέξας ΠN[1sl]S : ψέψας (sic) N[it] : ψέγει coni. Mustoxydis, l. l.  **11** αἱρουμένους N[ac] (vid.) : αἰρ- ΠN[1?pc] : ἐρ- S  **12** μὴδὲμίαν Π

# ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ

**1** Εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἐὰν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσιν· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύο λόγω περὶ τῶν αὐτῶν πραγμάτων εἰπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρεία καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστιν, καὶ φύσει μὲν οὐδὲν αὐτῶν ἔχομεν, μία δ' ἐπιστήμη κατὰ πάντων ἐστίν, ἄλλοι δὲ περὶ τὰς ἔριδας διατρίβοντες τὰς οὐδὲν μὲν ὠφελούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας. **2** 'Εγὼ δ' εἰ

---

Γ (E Pal.304) Θ Λ Π N S

---

**Inscriptio** Arist. *Rh.* 3.14 (1414b27); Phld. *Rh.* p. 233.23 (P.Herc. 1672 col. XXVII); Theon *Prog.* p. 106.24 Spengel (p. 62.25 Patillon); Quint. *Inst.* 3.8.9; Harp. β 17 [Harp.$^{1}$], θ 9 [Harp.$^{2}$], ο 19 [Harp.$^{3}$]; Tib. *Fig.* 33.10 = Anon. *Hermog. Id.* p. 1032.18; [Plu.] *Vitae X orat.* 838B; [Luc.] *Dem. Enc.* 10; Priscian. *Inst.* 18.305 (III, p. 376.5); Phot. *Bibl.* 159 (102a12); Jo. Sard. p. 138.19-20 (Sopat. fr. 5) [Jo.Sard.$^{1}$]; Jo. Sard. p. 155.17 [Jo.Sard.$^{2}$] = Doxap. *Aphth.* p. 446.23 [Doxap.$^{1}$]; Jo. Sard. p. 208.24 [Jo.Sard.$^{3}$]; Suid. δ 557; Doxap. *Aphth*. p. 480.2-3 [Doxap.$^{2}$]; Anon. *Schol. Aphth.* p. 45.5; *AB* p. 85.15 [*AB*$^{1}$], p. 121.25-26 [*AB*$^{2}$]; Schol. Aristid. *Pan.* 142.13 (p. 183.20); Schol. Dem. 20.169 (§ 69); Inscriptio argumenti

---

**Inscriptio** ἑλένης ἐγκώμιον Γ Θ ('Ισοκράτους ἑ. ἐ.) ΛNS Theon Harp.$^{1}$ Priscian. Phot. Suid. : τῆς Ἑλένης ἐγκώμιον Jo.Sard.$^{1}$ Doxap.$^{2}$ *AB*$^{2}$ Schol.Aristid. Schol.Dem. : *Helenae laus* Quint. : Ἑλένη Harp.$^{2}$ Harp.$^{3}$ Tib. (Anon.*Hermog.Id.* : om. V) *AB*$^{1}$ Inscriptio argumenti (NS : om. Π) : ἡ Ἑλένη Arist. Phld. (τ[η]ν̣ ελ[ε]ν⌜η⌝ν) [Luc.] Jo.Sard.$^{2}$ = Doxap.$^{1}$ Jo.Sard.$^{3}$ Anon.*Schol.Aphth.* : εἰς Ἑλένην ἐγκώμιον [Plu.] : om. Π (rubr.) : cf. Subscriptio **1** 1 οἱ Π φρονοῦσι S ἐὰν scripsi : ἢν Γ **a** 2 ποιησάμενοι∗ Γ περι sine acc. ΠS δυνηθῶσιν **b** : -σι Γ Θ 3 οἷόν] οἷον ΛS ψευδῆ λέγειν ΓE$^{it}$ **b** : ψευδολογεῖν E$^{1sl}$Pal.304 Θ δύο ΓE **b** : δύω Pal.304 Θ 4 εἰπεῖν Γ$^{ac}$ : ἀντειπεῖν Γ$^{5pc}$ **a** ἀνδρεία Γ Θ$^{ac}$ **b** : ἀνδρία Θ$^{1pc}$ 5 δικαιοσύνη] δι rescr. Γ$^{5}$ ἐστιν Γ : ἐστι EPal.304 ΘΠN : comp. ΛS μία rescr. Γ$^{2}$ 6 κατὰ πάντων **a** (καταπάντων ΠS): καθ' ἁπάντων Γ διατρίβοντες Γ : διατρίβουσι **a** (-σιν S$^{ac}$) 7 πλησιάζουσι E **a** : -σιν ΓPal.304 **2** 1 δὲ **b**

μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύτην ἐν τοῖς λόγοις ἐγγεγενημένην καὶ τούτους ἐπὶ τῇ καινότητι τῶν εὑρημάτων φιλοτιμουμένους, οὐκ ἂν ὁμοίως ἐθαύμαζον αὐτῶν· νῦν δὲ τίς ἐστιν οὕτως ὀψιμαθής, ὅστις οὐκ οἶδε Πρωταγόραν καὶ τοὺς κατ’ ἐκεῖνον τὸν χρόνον γενομένους σοφιστάς, ὅτι καὶ τοιαῦτα καὶ πολὺ τούτων ἔτι δυσχερέστερα συγγράμματα κατέλιπον ἡμῖν; **3** Πῶς γὰρ ἄν τις ὑπερβάλοιτο Γοργίαν τὸν τολμήσαντα λέγειν, ὡς οὐδὲν τῶν ὄντων ἔστιν, ἢ Ζήνωνα τὸν ταὐτὰ δυνατὰ καὶ πάλιν ἀδύνατα πειρώμενον ἀποφαίνειν, ἢ Μέλισσον, ὃς ἀπείρων τὸ πλῆθος πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς ὄντος τοῦ παντὸς ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν; **4** ’Αλλ’ ὅμως οὕτω φανερῶς ἐκείνων ἐπιδειξάντων, ὅτι ῥᾴδιόν ἐστιν, περὶ ὧν ἄν τις πρόθηται, ψευδῆ μηχανήσασθαι λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς ἐχρῆν ἀφεμένους ταύτης τῆς

Γ (E Pal.304) Θ Λ Π N S

**3** 1 πῶς – 2 ἔστιν Athan. *Hermog. Stat.* p. 180.20-21

2 ἑώρων] ἐρρώρων N$^{ac}$, corr. N$^{?}$ περὶ ἐργίαν Π ἐγγεγενημένην Γ : γεγεν- EPal.304 **a** 3 τῇ om. **a** καινότητι] κ rescr. Γ$^{5}$ εὑρημένων **a** 4 αὐτούς **a** ἐστιν οὕτως ὀψιμαθής Γ : οὕτως ὀ. ἐ. ΘΛ, nescio an recte : οὕτω ὀ. ἐ. **c** οἶδε EPal.304 **a** (fort. εἶδε Θ$^{ac}$, corr. Θ$^{1}$) : οἶδεν Γ προταγόραν Λ 5 τὸν om. S ὅτι καὶ] κ rescr. Γ$^{5}$ τοιαῦτα EPal.304 **a** : ταῦτα Γ (evanidum) 6 ἔτι EPal.304 **a** : om. Γ δυσχερέστερα E$^{1γρ}$ ΘΠN$^{it}$S : πραγματωδέστερα ΓE$^{it}$Pal.304 ΛN$^{2mg}$ κατέλειπον Γ$^{ac}$, corr. Γ$^{5}$ **3** 1 Πῶς γὰρ ἄν τις] Τίς γὰρ ἂν Athan. τις om. Θ$^{ac}$, corr. Θ$^{1}$ 2 τὸν om. Athan. ἔστιν coni. Bekker$^{1}$, p. 279 = Bekker$^{2}$, p. 231 : ἔστι Athan. : ἐστίν Γ **a** 3 ταὐτὰ **a** (τ’ αὐ- ΛΠN) : ταυτὰ EPal.304 : ταῦτα Γ δυνατὰ] ἀδύνατα Λ$^{ac}$, corr. Λ$^{?}$ καὶ πάλιν ἀδύνατα om. Γ$^{it}$ (propter homoeoteleuton), add. Γ$^{5sl}$ πειρώμενα ἀποφαίνη Π μέλισον Θ 4 ὄντος om. N$^{it}$, add. N$^{2mg}$ 5 ἐπεχείρησεν] ρ ex corr. Θ$^{1}$ **4** 1 οὕτως **a** φανερὸς N$^{ac}$, corr. N$^{?}$ 2 ἐπιδειξάντων Γ ΘΠS : ἀποδ- ΛN ἐστιν Γ S : ἐστι E ΘΠN : comp. Λ : spatium vacuum Pal.304 3 τρόπον Γ ἐχρῆν Γ ΘΛN$^{1pc}$ : ἐχρὴν ΠS : ἐξῆν N$^{ac}$

τερθρείας, τῆς ἐν μὲν τοῖς λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις πολὺν ἤδη χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν διώκειν, **5** καὶ περὶ τὰς πράξεις, ἐν αἷς πολιτευόμεθα, τοὺς συνόντας παιδεύειν, καὶ περὶ τὴν ἐμπειρίαν τὴν τούτων γυμνάζειν, ἐνθυμουμένους, ὅτι πολὺ κρεῖττόν ἐστιν περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν προέχειν ἐν τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς καὶ τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν. **6** ’Αλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει πλὴν τοῦ χρηματίζεσθαι παρὰ τῶν νεωτέρων. Ἔστι δ’ ἡ περὶ τὰς ἔριδας φιλοσοφία δυναμένη τοῦτο ποιεῖν· οἱ γὰρ μήτε τῶν ἰδίων πω μήτε τῶν κοινῶν φροντίζοντες τούτοις μάλιστα χαίρουσι τῶν λόγων, οἳ μηδὲ πρὸς ἓν χρήσιμοι τυγχάνουσιν ὄντες. **7** Τοῖς μὲν οὖν τηλικούτοις πολλὴ συγγνώμη ταύτην ἔχειν τὴν διάνοιαν· ἐπὶ γὰρ ἁπάντων τῶν

---

Γ (E Pal.304) Θ Λ Π N S

---

**4** 4 τερθρείας] cf., sine nomine Isocratis, Moeris τ 8, Tim. *Lex.* p. 210.5, Hsch. τ 521, *Synag.* τ 108, Phot. *Lex.* p. 578.12-23 Porson, *Et. Gen.* (cit. apud *Synag.*), *Lex. Αἱμ.* τ 7, Suid. τ 344, *Et.Gud.* p. 526.30-33, *Et. Sym.* = *EM* 752.47-753.6, Zonar. col. 1719.6-11, Thom. Mag. p. 348.8-9 (s.v. τερατεία)

---

4 τερθρείας Γ Θ **c**, cf. Moer. Hsch. *Et.Gen. Lex.Αἱμ.* (D$^{ac}$) Suid. *Et.Gud. Et.Sym. EM* (752.47, 49) Zonar. Thom.Mag. (BEO) : τερθρίας Λ, cf. *Synag. EM* (752.54) : τεθρείας cf. Tim. *Lex.Αἱμ.* (D$^{2pc}$) Thom.Mag. (RbGCDPF) : τεθρίας cf. Phot.     4-5 ἐν δὲ – ἐξεληλεγμένης om. N$^{it}$, ἐν δὲ τοῖς ἔργοις ἐξεληλεγμένης (om. πολὺν ἤδη χρόνον) add. N$^{1mg}$ (rubr.)     5 πολὺν] πολὴν S$^{ac}$, corr. S$^{1}$ inter scrib. ἐξεληλεμένης Π$^{ac}$, corr. Π$^{1}$     **5** 1 τὰς Γ$^{2pc}$ Θ **c** : τοῦ (sic) Λ : om. Γ$^{ac}$     2 ἐναῖς ΠS     τὴν τούτων] τὴν om. E     3 ἐνθυμουμένοις **c**     κρεῖττοιν N$^{ac}$ (vid.), corr. N$^{?}$     ἐστιν Γ : ἐστι EPal.304 Θ **c** (-ὶ ΘN, ἔ- ΠS) : comp. Λ     τῶν om. Θ     4 περὶ τῶν ἀχρήστων – μικρὸν om. **c** (add. N$^{2mg}$, sed prius ἐπίστασθαι ἀκριβῶς mutato ordine scr., deinde lineolis corr.)     5 μᾶλλον om. **a**     5-6 καὶ τοῖς μηδὲν – ὠφελοῦσιν del. Fuhr, *Animadv.*, p. 53     5 τοῖς$^{3}$ dub. del. Benseler, *Areop.*, p. 291     6 ὠφελοῦσιν ΓE$^{it}$Pal.304 ΛN$^{2?mg}$ (-σι N$^{2?mg}$) : διαφέρουσιν (ex lin. antec. διαφέρειν) E$^{1γρ}$ ΘΠN$^{it}$S     **6** 1 μέλει ΓE$^{pc}$ Θ$^{ac}$ΠN$^{pc}$S : μέλλει E$^{ac}$Pal.304 Θ$^{1?pc}$ΛN$^{ac}$     2 παρὰ] περὶ Λ     ἔστι Γ$^{5?pc}$ ΘΛΠS : ἐστὶ N : ἔστιν Γ$^{ac}$     δ’ Γ N : δὲ ΘΛΠS     φιλοσοφία Γ ΘΠN$^{it}$S : φιλονεικία ΛN$^{2?sl}$     3 πω om. **a** χαίρουσι Γ$^{5pc}$ **a** : -σιν Γ$^{ac}$     4 μηδὲ Γ ΛNS : μὴ δὲ EPal.304 ΘΠ

πραγμάτων πρὸς τὰς περιττότητας καὶ τὰς θαυματοποιίας οὕτω διακείμενοι διατελοῦσιν· τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον ἐπιτιμᾶν, ὅτι κατηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις ἐξαπατώντων καὶ μὴ δικαίως τοῖς λόγοις χρωμένων, αὐτοὶ δ’ ἐκείνων δεινότερα ποιοῦσιν· οἱ μὲν γὰρ ἄλλους τινὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας μάλιστα βλάπτουσιν. **8** Τοσοῦτον δ’ ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδολογεῖν, ὥστ’ ἤδη τινὲς ὁρῶντες τούτους ἐκ τῶν τοιούτων ὠφελουμένους τολμῶσι γράφειν, ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων, καὶ ποιοῦνται τεκμήριον, ὡς, εἰ περὶ πονηρῶν πραγμάτων ἔχουσί τι λέγειν, περί γε τῶν καλῶν κἀγαθῶν ῥᾳδίως εὐπορήσουσιν. **9** ’Εμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ διὰ τοιούτων λόγων ζητεῖν πείθειν, ὡς περὶ τῶν πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς οἷς ἐπαγγέλλονται τὴν ἐπίδειξιν ποιεῖσθαι· τοὺς γὰρ ἀμφισβητοῦντας τοῦ φρονεῖν καὶ φάσκοντας εἶναι σοφιστὰς οὐκ ἐν τοῖς ἠμελημένοις ὑπὸ τῶν ἄλλων, ἀλλ’ ἐν οἷς ἅπαντές εἰσιν ἀνταγωνισταί, προσήκει

Γ (E Pal.304) Θ Λ Π N S

**7** 3 περιττότητας Γ Θ$^{ac}$ (vid.) **b** : καινότητας Θ$^{2pc}$  τὰς$^{2}$ om. **a**, nescio an recte  θαυματοποιίας Γ ΘΛN$^{ac}$ : θαυματοποίας ΠN$^{pc}$S$^{pc}$ (θαυμαθο- S$^{ac}$)  διακοίμενοι N (o fort. ex corr.)  4 διατελοῦσιν Γ$^{ac}$Pal.304 : -σι Γ$^{5pc}$E **a**  5 ἰδίοις om. **a**, nescio an recte  συμβολαίοις Γ (οις rescr. Γ$^{2}$) E **a** : -αίως Pal.304  ἐξαπατώντων] ἐξ ἁπάντων τῶν Π$^{ac}$, corr. Π$^{?}$  6 δ’ Γ ΘN : δὲ ΛΠS  7 ἐξημίωσαν S  οὗτοι] αὐτοὶ (ex lin. antec.) EPal.304$^{ac\ vel\ 1pc}$ : αὐτοῖς Pal.304$^{1pc\ vel\ ac}$  βλάπτουσιν Γ ΠS : -σι EPal.304 ΘΛN  **8** 1 δ’ Γ N : δὲ ΘΛΠS  4 ζηλωτότερος Γ$^{2pc}$ ΘΛ : ζηλοτότερος **c** : ζηλωτερος Γ$^{ac}$ : ζηλότερος EPal.304  ἢ ὁ] del. Richards, *Notes*, p. 296 : ὁ del. vel ἤ‹περ› ὁ coni. Benseler, *Areop.*, pp. 87, 406 (cf. *De hiatu*, p. 40, *Orationes*, I, p. VII) : τοῦ coni. Naber, *Ad. Isoc.*, p. 64  ἢ ὁ τῶν ἄλλων ἀνθρώπων del. Kayser, p. 359  5 ἔχουσί τι Γ$^{pc}$ **a** (-σι τί ΛΠS, -σι τι N) : -σίν τι Γ$^{ac}$  γε om. Λ  καὶ ἀγαθῶν **a**  6 εὐπορήσουσιν] -σιν Γ$^{2?ras}$ : [Γ$^{ac}$]  **9** 2 τοιούτων λόγων Γ : τούτων τῶν λ. **a** (τοῦτον τὸν λόγον N$^{ac}$, corr. N$^{1?}$)  ὡς περὶ] ὡσπερεὶ Λ  3 ἐξὸν ἐν αὐτοῖς **a** : ἐξὸν αὐτοῖς ἐν Γ$^{2ras}$ : ἐξὸν ****** Γ$^{ac}$  ἀπόδειξιν **a**  4 τοῦ φρονεῖν Γ$^{ac}$ **a** : τοῦτο φ. Γ$^{5pc}$  5 ἄλλων Γ : ἄ. ἑλλήνων EPal.304 **a**

διαφέρειν καὶ κρείττους εἶναι τῶν ἰδιωτῶν. **10** Νῦν δὲ παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις προσποιοῖτο κράτιστος εἶναι τῶν ἀθλητῶν ἐνταῦθα καταβαίνων, οὗ μηδεὶς ἂν ἄλλος ἀξιώσειεν. Τίς γὰρ ἂν τῶν εὖ φρονούντων συμφορὰς ἐπαινεῖν ἐπιχειρήσειεν; Ἀλλὰ δῆλον, ὅτι δι' ἀσθένειαν ἐνταῦθα καταφεύγουσιν. **11** Ἔστι γὰρ τῶν μὲν τοιούτων συγγραμμάτων μία τις ὁδός, ἣν οὔθ' εὑρεῖν οὔτε μαθεῖν οὔτε μιμήσασθαι δύσκολόν ἐστιν· οἱ δὲ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων εὑρίσκονταί τε καὶ λέγονται, καὶ τοσούτῳ χαλεπωτέραν ἔχουσι τὴν σύνθεσιν, ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπονώτερόν ἐστιν. **12** Σημεῖον δὲ μέγιστον· τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν, οἱ δὲ περὶ τῶν

---

π1 (**11** 3 μ]ịμήṣ[αcθαι – 5 τ]ḥν c[ύνθεcιν); Γ (E Pal.304) Θ Λ Π N S

---

**12** 1 τῶν μὲν – 2 ἐπαινεῖν *AB* p. 85.15-16 (s.v. βομβυλίον) [*AB*$^{1}$]     1 βομβυλιοὺς] cf. Harp. β 17 et, sine nomine Isocratis, Hsch. β 802, *Synag.* β 65 (s.v. βομβύλιος), Phot. *Lex.* β 206, *Et. Gen.* β 182 Berger = β 180 Lasserre-Livadaras, Suid. β 375-376, *Et. Sym.* β 154 Berger = β 150/152 Lasserre-Livadaras, *EM* 204.54-55, Zonar. col. 396.10-11, *AB* p. 220.7-8 [*AB*$^{2}$]

---

6 κρείτους Π$^{ac}$N$^{ac}$, corr. Π$^{1}$N$^{1}$     **10** 2 ὥσπερ] ὡς **c**     3 ἄλλως N$^{ac}$, corr. N$^{1}$     ἀξιώσειεν Γ **c** : -σειε EPal.304 ΘΛ     4 ἐπιχειρήσεων (sic) N$^{ac}$, corr. N$^{1}$     καταφεύγουσιν Γ **b** (-σι N) : διαφ- Θ     **11** 2 ἔστι EPal.304 **a** (ἐστὶ N) : ἔστιν Γ     τις Γ ΘΛ : τίς EPal.304 ΠN : τὶς S     2-3 οὔτε μαθεῖν] οὔδε μ. (sic) Π : οὐδὲ μ. NS     3 πιστοὶ Γ Θ$^{1pc}$ **b** : **στοὶ Θ$^{ac}$ : ]cτοι π1     4 ἰδεῶν Γ ΘΛΠN$^{1sl}$ : ἰδέων S : ἰδῶν N$^{it}$ : ι̣[ π1$^{1pc}$ : ει̣[ π1$^{ac}$     5 τε Γ$^{5sl}$E **a** : om. Γ$^{it}$Pal.304: [π1]     χαλεπωτέραν π1 (]αλεπω̣[ vid.) Γ ΘΛΠN$^{1pc}$S : χαλεποτέραν N$^{ac}$     σύνθεσιν Γ ΘΛ : συνήθειαν **c** : c[ π1     6 σεμνύνεσθαι Γ$^{ac}$ **a** : σεμνύνεσθαι ἢ ἐγκωμιάζειν Γ$^{2pc}$     σκώπτειν Γ ΘΛΠN$^{1pc}$S : σκόπτειν (sic) E N$^{ac}$ : σκωπεῖν Pal.304     παίζειν Γ ΘΛΠ$^{1sl}$N : πέζειν Π$^{it}$S     ἐστιν Γ **c** (-ὶν N) : ἐστι EPal.304 Θ : comp. Λ     **12** 1 βομβυλιοὺς Γ **a**, cf. Harp. Hsch. *Et.Gen.* Suid. *Et.Sym.* *EM* Zonar. *AB*$^{2}$ : βομβυλίους *AB*$^{1}$, cf. *Synag.* Phot.     1-2 καὶ τὰ τοιαῦτα om. *AB*$^{1}$     2 βουληθέντων ἐπαινεῖν] ἐπαινούντων *AB*$^{1}$     λόγων ἠπόρησεν οἱ δὲ Γ$^{2ras}$ : [Γ$^{ac}$] (fort. om. λόγων)     λόγον S$^{ac}$, corr. S$^{1}$ (rubr.)

ὁμολογουμένων ἀγαθῶν ἢ καλῶν ἢ διαφερόντων ἐπ’ ἀρετῇ λέγειν ἐπιχειρήσαντες πολὺ καταδεέστερον τῶν ὑπαρχόντων ἅπαντες εἰρήκασιν. **13** Οὐ γὰρ τῆς αὐτῆς γνώμης ἐστὶν ἀξίως εἰπεῖν περὶ ἑκατέρων αὐτῶν, ἀλλὰ τὰ μὲν μικρὰ ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι· καὶ περὶ μὲν τῶν δόξαν ἐχόντων σπάνιον εὑρεῖν ἃ μηδεὶς πρότερον εἴρηκεν, περὶ δὲ τῶν φαύλων καὶ ταπεινῶν ὅ τι ἂν τις τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν ἐστιν.

**14** Διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαινῶ μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων, ὅτι περὶ τοιαύτης ἐμνήσθη γυναικός, ἣ καὶ τῷ γένει καὶ τῷ κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκεν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτον μικρόν τι παρέλαθεν· φησὶ μὲν γὰρ ἐγκώμιον γεγραφέναι περὶ αὐτῆς, τυγχάνει δ’ ἀπολογίαν εἰρηκὼς ὑπὲρ τῶν ἐκείνῃ πεπραγμένων. **15** Ἔστι δ’ οὐκ ἐκ τῶν αὐτῶν ἰδεῶν οὐδὲ περὶ τῶν αὐτῶν ἔργων ὁ λόγος, ἀλλὰ πᾶν τοὐναντίον· ἀπολογεῖσθαι μὲν γὰρ προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ’ ἀγαθῷ τινι διαφέροντας. Ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν

---

Γ (E Pal.304 [– **13** 3 καὶ], Δ [**13** 3 περὶ μὲν –]) Θ Λ Π Ν

---

**15** 3 ἀπολογεῖσθαι – 4 διαφέροντας Theon *Prog.* p. 112.11-13 Spengel (p. 78.1-3 Patillon)

---

3 ἀγαθῶν καὶ καλῶν coni. Auger, II, p. 334 (qui pergit ἢ τῶν διαφερόντων)  τῶν διαφερόντων **a**  λέγειν Γ : τί λ. **a** : λ. τΐ EPal.304  4 εὑρήκασιν N$^{it}$, ει N$^{1sl}$  **13** 2 γνώμης Γ$^{it}$E$^{1mg}$ **a** : διανοίας Γ$^{1mg}$ (litt. unc.) E$^{it}$Pal.304  2-3 μικρὰ ante ῥᾴδιον del. vel, minus fidenter, μεγάλων ante χαλεπὸν add. Korais, I, p. 208; II, p. 162  3 ὑπερβαλέσθαι Γ$^{ac}$E$^{1pc}$ ΘΛΠΝ$^{it}$S : -βάλλεσθαι Γ$^{2pc}$E$^{ac}$Pal304 N$^{sl}$  μεγέθους] μεγίστους N$^{ac}$, corr. N$^{1}$ (rubr.)  4 ἃ Γ : ὃ **a**  εἴρηκεν Γ Λ$^{ac}$ : -κε Δ ΘΛ$^{pc}$ **c**  5 φθεγξάμενος] φθεγγξάμενος (sic) Λ : φθέγξασθαι Θ  ἐστι Δ **a**  **14** 1 διὸ∗ Γ  Ἑλένης] ἑλένης∗ Γ : ἐ- Θ (vid.) ΛΠ  μάλιστα∗ Γ  εὖ λέγειν] εὐλογεῖν coni. Bekker$^{1}$, II, p. 619 = Bekker$^{2}$, V, p. 696  2 τι Γ N : τί ΔΘΛΠS  ἣ] ἢ Π  τῷ$^{1}$] τὸ S$^{ac}$, corr. S$^{1}$  3 δόξει Λ$^{ac}$, corr. Λ$^{1}$  πολὺ] πολύ που Θ  τοῦτον om. **c**  4 παρέλαθεν Γ : -θε Δ **a**  φησὶ Γ ΘΠΝ$^{1pc}$ (rubr.) S : φήσει N$^{ac}$ : φασὶ Λ  μὲν om. Λ  δὲ Θ  **15** 1 ἔστι Δ **a** (ἐστὶ N) : ἔστιν Γ  δὲ **a**  2 ἔργων om. Γ$^{ac}$, add. Γ$^{1b\ mg}$ Γ$^{2it}$  ἀλλ’ ἅπαν **a**

τοῖς ἄλλοις μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαι περὶ τῆς αὐτῆς ταύτης εἰπεῖν παραλιπὼν ἅπαντα τὰ τοῖς ἄλλοις εἰρημένα.

**16** Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν τοῦ γένους αὐτῆς. Πλείστων γὰρ ἡμιθέων ὑπὸ Διὸς γεννηθέντων μόνης ταύτης γυναικὸς πατὴρ ἠξίωσε κληθῆναι. Σπουδάσας δὲ μάλιστα περί τε τὸν ἐξ ’Αλκμήνης καὶ τοὺς ἐκ Λήδας, τοσούτῳ μᾶλλον Ἑλένην Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν, ἣ βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, τῇ δὲ κάλλος ἀπένειμεν, ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. **17** Εἰδὼς δὲ τὰς ἐπιφανείας καὶ τὰς λαμπρότητας οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ’ ἐκ τῶν πολέμων καὶ τῶν ἀγώνων γιγνομένας, καὶ βουλόμενος αὐτῶν μὴ μόνον τὰ σώματ’ εἰς θεοὺς ἀναγαγεῖν, ἀλλὰ καὶ τὰς δόξας

---

Γ (Δ) Θ Λ Π N S

---

**16** 3 Σπουδάσας – 5 ἔδωκεν Jo. Sard. p. 155.17-20 = Doxap. *Aphth.* p. 446.24-26 [Doxap.[1]] 4-5 ἰσχὺν ἔδωκεν Doxap. *Aphth.* p. 480.7 (in paraphrasi sententiae 3 Σπουδάσας – 6 πέφυκεν) [Doxap.[2]]

---

4 ἐπ’ Γ **a** (ἐπαγαθῶ ΠS) : ἐπὶ Theon  ἀγαθῷ Γ ΘΛ$^{1pc}$ **c** Theon : ἀγαθῶν Λ$^{ac}$  διαφέροντας Γ ΘΛΠNS$^{1pc}$ (inter scrib.) Theon : -ες S$^{ac}$  ἐπιτιμῶν Θ  5 τῆς ΓΔ$^{ac}$ : om. Δ$^{1?pc}$ **a**  αὐτῆς] αὐτοῖς Π$^{it}$, η Π$^{1?sl}$  6 ἄλλοις om. N$^{it}$, add. N$^{3?sl}$ (rubr.)  **16** 1 ποιήσομαι τὴν ἀρχὴν Δ$^{1pc}$ **a** : π. τοιαύτην ΓΔ$^{ac}$  2 γεννηθέντων ὑπὸ διὸς **a** (γενηθ- **c**)  γυναικὸς Γ : τῆς γ. **a**  3 ἠξίωσαι ΠS  κληθῆναι] κληναι Π$^{ac}$, corr. Π$^{1sl}$  τε om. Jo.Sard. = Doxap.[1]  τὸν Γ ΘΛΠNS$^{1pc}$ (inter scrib.) : τῶν S$^{ac}$ : τὰς Jo.Sard. = Doxap.[1]  ἀλκμήνης ΓΔ$^{1pc}$ ΘΛNS Jo.Sard. = Doxap.[1] : ἀλμήνης Δ$^{ac}$ Π  3-4 καὶ τοὺς ἐκ λήδας Γ ΘΛ$^{1mg}$ΠNS Jo.Sard. = Doxap.[1] : om. Λ$^{it}$  4 τοσούτῳ Γ **b** : -οῦτο Θ Doxap.[1] : -οῦτον Jo.Sard.  ἑλένην Γ **a** (ἐ- ΘΛS) : om. Jo.Sard. = Doxap.[1]  προὐτίμησεν Γ **a** (-ου- **b**) : προετίμησεν Jo.Sard. (W) = Doxap.[1] : προετίμησαν Jo.Sard. (V)  τῷ Γ ΘΛΠN$^{pc}$S Jo.Sard. = Doxap.[1] : τῶν N$^{ac}$  5 ἔδωκεν Θ **c** : ἔδωκε Λ Doxap.[2] : δέδωκεν Γ : δέδωκε Jo.Sard. = Doxap.[1]  ἣ] ἢ Π  ἄλλων ἀπάντων **b**  δύναται] τ ex ν Λ$^{1pc}$  **17** 1 δὲ om. Θ  τὰς λαμπρότητας καὶ τὰς ἐπιφανείας **a**, nescio an recte  2 ἡσυχίας] ἡσυμμαχίας (sic) Π  ἄλλ’ N  καὶ$^{2}$ Γ **a** : om. Δ  3 σώματα **a**  ἀγαγεῖν Θ

ἀειμνήστους καταλιπεῖν, τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησεν, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν.

**18** Καὶ πρῶτος μὲν Θησεύς, ὁ λεγόμενος μὲν Αἰγέως, γενομένος δ’ ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν ἀκμάζουσαν, ἤδη δὲ τῶν ἄλλων διαφέρουσαν, τοσοῦτον ἡττήθη τοῦ κάλλους ὁ κρατεῖν τῶν ἄλλων εἰθισμένος, ὥσθ’ ὑπαρχούσης αὐτῷ καὶ πατρίδος μεγίστης καὶ βασιλείας ἀσφαλεστάτης, ἡγησάμενος οὐκ ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἄνευ τῆς πρὸς ἐκείνην οἰκειότητος, **19** ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ’ ἦν αὐτὴν λαβεῖν, ἀλλ’ ἐπέμενον τήν τε τῆς παιδὸς ἡλικίαν καὶ τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν

---

Γ (Δ) Θ Λ Π N S

---

**17** 4 τοῦ μὲν – 5 ἐποίησεν Demetr. *Eloc.* 23; Alex. *Fig.* pp. 36.1-4 [Alex.$^{1}$], 40.5-7 [Alex.$^{2}$]; Tib. *Fig.* 33.11-14 = Anon. *Hermog. Id.* pp. 1032.18-1033.1; Schol. Dem. 1.77c    4 καὶ φιλοκίνδυνον – 5 ἐποίησεν Schol. Pl. *Phdr.* 141 (267b10)    **18-20** imitatus est [Luc.] *Charid.* 16 (pp. 397.22-398.11)

---

4 τοῦ Γ ΘΛNS Alex.$^{2}$ Anon. Schol.Dem. : τοὺς Π : τῷ Demetr. : τῶν Alex.$^{1}$ : τοῦτο Tib.    ἐπίπονον Γ **a** Demetr. Alex. Anon. Schol.Dem. : ἐπίμονον Tib.    φιλοκίνδυνον Γ **a** Alex. Anon. Schol.Dem. Schol.Pl. : πολυκίνδυνον Demetr. : ἐπικίνδυνον Tib.    τὸν Γ **a** Demetr. Alex.$^{1}$ Tib. = Anon. Schol.Dem. Schol.Pl. : om. Alex.$^{2}$    κατέστησεν ΓΔ$^{ac}$ Π Schol.Pl. : κατέστησε Δ$^{1pc}$ ΘΛNS Alex.$^{2}$ Schol.Dem. : ἐποίησεν Demetr. : ἐποίησε Alex.$^{1}$ Tib. = Anon.    5 τῆς Γ **a** Demetr. Alex.$^{2}$ Anon. Schol.Pl. : τοῖς Alex.$^{1}$ : τὴν Tib. Schol.Dem.    περίβλεπτον καὶ Γ **a** Demetr. Alex.$^{2}$ Tib. = Anon. Schol.Dem. Schol.Pl. (T) : περιβλέπτου καὶ Schol.Pl. (W) : om. Alex.$^{1}$    ἐποίησεν Γ Alex.$^{2}$ Schol.Pl. : ἐποίησε Δ **a** : κατέστησεν Demetr. Tib. = Anon. (1033.1) : κατέστησε Alex.$^{1}$ Anon. (1032.20) : ἐπήγαγεν Schol.Dem.    **18** 1 πρῶτος Θ **c** : -ον Γ Λ    μὲν$^{2}$ om. ΘN    δὲ **a**    2 οὔπω] οὔτω N$^{it}$, π N$^{1sl}$    ἤδη Γ$^{ac}$ (vid., ∗δη) : εἴδει Γ$^{2pc}$ Δ (-ει Δ$^{1pc}$ inter scrib.) **a**    3 ὁ ΓΔ$^{ac}$ : om. Δ$^{pc}$ **a**    κραττεῖν Π$^{ac}$, corr. Π$^{?}$    εἰθισμένος Γ$^{2pc}$ (-θ∗σ- Γ$^{ac}$) ΘΛΠ$^{ac\ vel\ pc}$N$^{pc}$S : -νως Π$^{pc\ vel\ ac}$N$^{ac}$    ὥσθε **a**    5 ζεῖν Π$^{it}$, η Π$^{1?sl}$    προς (sine acc.) ΠS    ἐκείνης N$^{ac}$, corr. N$^{1}$    **19** 1 ἐπεὶ δὴ S    τε ἦν Θ    αὐτὴν om. Θ    ἐπέμενον Γ : ἀνέμενον **a** (ἀνέμον N$^{it}$, εν N$^{1sl}$), nescio an recte : περιέμενον coni. Zajonz, *Hel.*, p. 159    τήν τε] τὴν δὲ **c**    2 ἡλικίαν] ἡλικί∗αν Π : bis scr. Λ, alterum del. Λ$^{1}$

τὴν Τυνδάρεω καὶ καταφρονήσας τῆς ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας, βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς κατέθετο. **20** Καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς ἁρπαγῆς, ὥστε βουληθέντος αὐτοῦ μνηστεῦσαι Κόρην τὴν Διὸς καὶ Δήμητρος, καὶ παρακαλοῦντος ἐπὶ τὴν εἰς Ἅιδου κατάβασιν, ἐπειδὴ συμβουλεύων οὐχ οἷός τ' ἦν ἀποτρέπειν, προδήλου τῆς συμφορᾶς οὔσης ὅμως αὐτῷ συνηκολούθησεν, νομίζων ὀφείλειν τοῦτον τὸν ἔρανον, μηδενὸς ἀποστῆναι τῶν ὑπὸ Πειρίθου προσταχθέντων, ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.

**21** Εἰ μὲν οὖν ὁ ταῦτα πράξας εἷς ἦν τῶν τυχόντων, ἀλλὰ μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἂν πω δῆλος ἦν ὁ λόγος, πότερον Ἑλένης ἔπαινος ἢ κατηγορία Θησέως ἐστίν· νῦν δέ, τῶν μὲν ἄλλων τῶν εὐδοκιμησάντων εὑρήσομεν τὸν μὲν ἀνδρείας, τὸν δὲ σοφίας, τὸν δ' ἄλλου τινὸς τῶν τοιούτων μερῶν ἀπεστερημένον,

Γ (Δ) Θ Λ Π N S

3 ῥώμης τῆς] ῥ. τοῦ **c**  κάστορος Γ$^{it}$ **b** : κάστορός τε Γ$^{5sl}$ Θ  4 ὀλιγωρήσας Γ ΛΠNS [Luc.] : -γορ- Θ  5 κατέθετο Γ$^{it}$ : ἐκόμισεν Γ$^{2γρ}$ : ἐκόμισε Δ **a** (-μησε Λ) [Luc.]  **20** 1 χάριν Γ ΛΠNS, cf. [Luc.] (τοσαύτην ἔσχε χάριν) : τὴν χ. Θ  ἔσχε Δ **a** : -εν Γ  Πειρίθῳ] -ρίθωι Γ$^{2ras}$ : [Γ$^{ac}$]  2 ἁρπαγῆς] ἀ- Π  μνησθεῦσαι N$^{ac}$, corr. N$^{1}$ (rubr.)  3 παρακαλοῦντος Γ$^{it}$ : π. αὐτὸν Γ$^{5sl}$ **a**  εἰς om. Λ  ἅιδου Γ : ᾅδ- **a**  4 τε Θ  συνηκολούθησεν Γ Θ$^{ac}$ (vid.) : -σε Δ Θ$^{pc}$ **b**  5 ὠφείλειν Π$^{ac}$, corr. Π$^{?}$  6 προσταχθέντων Γ **c** (χ ex κ corr. S$^{1}$) : πραχθέντων Θ : προσταττομένων Λ  αὑτῷ scripsi : αὐ- Γ **a**  συνεκινδύνευσεν ********* Θ  **21** 1 Εἰ μὲν] ὅ (sic) μὲν Π  εἷς] εἶς Π 2 Ἑλένης] ἐ- ΘΛΠ  ἔπαινος om. N  3 ἐστίν ΓΔ$^{ac}$ **c** : ἐστί Δ$^{pc}$ : comp. Λ : om. Θ  τῶν ἄλλων μὲν **c**  εὐδοκ∗μησάντων Γ$^{ac}$, ι Γ$^{2pc}$  εὑρήσομεν] εὑ- Π  3-4 τὸν μὲν … τὸν δὲ … τὸν δ' Γ$^{2pc}$ **a** : τοὺς μὲν … τοὺς δὲ … τοὺς δ' Γ$^{ac}$  4 ἀπεστερημένον Γ$^{2pc}$ Θ$^{1pc}$ **b** : -νους Γ$^{ac}$ : -νων Θ$^{ac}$

τοῦτον δὲ μόνον οὐδ’ ἑνὸς ἐνδεᾶ γενόμενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον. **22** Δοκεῖ δέ μοι πρέπειν περὶ αὐτοῦ καὶ διὰ μακροτέρων εἰπεῖν· ἡγοῦμαι γὰρ ταύτην μεγίστην εἶναι πίστιν τοῖς βουλομένοις Ἑλένην ἐπαινεῖν, ἐὰν ἐπιδείξωμεν τοὺς ἀγαπήσαντας καὶ θαυμάσαντας ἐκείνην αὐτοὺς τῶν ἄλλων θαυμαστοτέρους ὄντας. Ὅσα μὲν γὰρ ἐφ’ ἡμῶν γέγονεν, εἰκότως ἂν ταῖς δόξαις ταῖς ἡμετέραις αὐτῶν διακρίνοιμεν, περὶ δὲ τῶν οὕτω παλαιῶν προσήκει τοῖς κατ’ ἐκεῖνον τὸν χρόνον εὖ φρονήσασιν ὁμονοοῦντας ἡμᾶς φαίνεσθαι.

**23** Κάλλιστον μὲν οὖν ἔχω περὶ Θησέως τοῦτ’ εἰπεῖν, ὅτι κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος ἐνάμιλλον τὴν αὑτοῦ δόξαν πρὸς τὴν ἐκείνου κατέστησεν. Οὐ γὰρ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς, πρέποντα τῇ συγγενείᾳ ποιοῦντες. ’Εξ ἀδελφῶν γὰρ γεγονότες, ὁ μὲν ἐκ Διός, ὁ δ’ ἐκ Ποσειδῶνος, ἀδελφὰς καὶ τὰς ἐπιθυμίας ἔσχον. Μόνοι γὰρ οὗτοι τῶν προγεγενημένων ὑπὲρ τοῦ βίου

---

π2 (**23** 6 γ]ἀ̣ρ οὗτ̣οι –); Γ (Δ) Θ Λ Π N S Auct (**22** 1 καὶ διὰ μακροτέρων –)

---

**23** 5 ’Εξ ἀδελφῶν – 6 ἔσχον imitatus est [Nicol.] *Prog.* p. 355.25-26 Walz

---

5 οὐδ’ ἑνὸς coni. Benseler, *Orationes*, I, p. XXXIX : οὐδενὸς Γ ΘN : οὐθ’ ἑνὸς Λ : οὐθενὸς ΠS ἐνδεᾶ Γ Λ : ἐνδεῆ Θ **c** **22** 1 πρέπειν om. **a** δια (sine acc.) NS 2 Ἑλένην] ἑ- ΘΛΠ 3 ἐὰν scripsi : ἢν Γ **a** θαυμάσαντες Π 6 τὸν om. N εὐφρονήσασιν Λ ὁμονοοῦντας Γ ΘΛΠ$^{pc}$N$^{1?sl}$SAuct : ὁμομονοοῦντας Π$^{ac}$ : ὁμονοῦντας N$^{it}$ **23** 1 καλλίστων Γ$^{ac}$, corr. Γ$^{?}$ ἔχω post εἰπεῖν scr. Λ Θησέως] -ησ- Γ$^{2ras}$ : [Γ$^{ac}$] τοῦτο Θ 2 Ἡρακλεῖ] ἡ- Π ἐνάμιλλον ΓΔ$^{it}$ : ἐφ- Δ$^{1sl}$ **a** αὑτοῦ coni. Bekker$^{1}$, p. 284 = Bekker$^{2}$, p. 235 : αὐ- Γ : ἑαυ- **a** 3 κατέστησαν Θ post ἐκοσμήσαντο add. τοῖς αὐτοῖς S$^{ac}$ (ex lin. seq. ἐχρήσαντο τοῖς αὐτοῖς), del. S$^{?}$ παραπλησίως **a** 4 ἐπιτηδεύμασι S 5 γὰρ] δὲ Λ, cf. [Nicol.] (ἀδελφοὶ δὲ γεγονότες) γεγονότες Γ ΘΛΠNS [Nicol.] : -τε Auct δὲ **a** ἐκ$^{2}$ bis scr. Θ$^{ac}$, prius del. Θ$^{2?}$ 6 ἔσχον Γ ΘΛ [Nicol.] : εἶχον ΠN$^{1pc}$SAuct : ἔχων N$^{ac}$ οὗτοι et π2] υτ ex corr. Auct$^{1}$

τοῦ τῶν ἀνθρώπων ἀθληταὶ κατέστησαν. **24** Συνέβη δὲ τὸν μὲν ὀνομαστοτέρους καὶ μείζους, τὸν δ’ ὠφελιμωτέρους καὶ τοῖς Ἕλλησιν οἰκειοτέρους ποιήσασθαι τοὺς κινδύνους. Τῷ μὲν γὰρ Εὐρυσθεὺς προσέταττεν τάς τε βοῦς τὰς ἐκ τῆς Ἐρυθείας ἀγαγεῖν καὶ τὰ μῆλα τὰ τῶν Ἑσπερίδων ἐνεγκεῖν καὶ τὸν Κέρβερον ἀναγαγεῖν καὶ τοιούτους ἄλλους πόνους, ἐξ ὧν ἔμελλεν οὐ τοὺς ἄλλους ὠφελήσειν ἀλλ’ αὐτὸς κινδυνεύσειν· **25** ὁ δ’ αὐτὸς αὑτοῦ κύριος ὢν τούτους προῃρεῖτο τῶν ἀγώνων, ἐξ ὧν ἔμελλεν ἢ τῶν Ἑλλήνων ἢ τῆς αὑτοῦ πατρίδος εὐεργέτης γενήσεσθαι. Καὶ τόν τε ταῦρον τὸν ἀνεθέντα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον, ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσάμενος μεγάλου φόβου καὶ πολλῆς ἀπορίας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξεν· **26** καὶ μετὰ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος καὶ στρατευσάμενος

---

π2 (– **24** 3 κινδύνους); Γ (Δ) Θ Λ Π N S Auct

---

7 τοῦ τῶν Γ$^{2pc}$ : τούτων Γ$^{ac}$ (vid.) : τουτων π2 : τῶν **a**   κατέστησαν π2 Γ **b** : γεγόνασι Θ   **24** 1 δὲ om. π2   1-3 τὸν μὲν ὀνομαστοτέρους – τοὺς κινδύνους et π2] τὸν̣ μὲν τοῖς ἕ̣λ̣λ̣ησι̣[ν] οἰκειοτέρους καὶ ὠφελιμωτέρους τοὺς κ̣ι̣ν̣δ̣ύ̣[νους] πο[ι̣ήσα[σθαι,] τ̣ὸν̣ δ̣ὲ ὀνομαστοτ̣έ̣ρ[ους] (om. καὶ μείζους) Auct   2 δ’ π2 Γ : δὲ **a**   ωφελιμωτατουϲ π2   καὶ τοῖς ἕλλησιν οἰκειοτέρους π2 Γ **a** : om. Δ   3 Τῷ] τῶ* Γ : τῶ **a**   προσέταττεν Γ **c** : -ταττε Δ ΘΛ   3-4 ἐκ τῆς ἐρυθείας Γ : ἐκ τῆς ἐρϊθείας Δ : ἐξ ἐρυθείας **a**   4 ἀγαγεῖν ΘΛΠN$^{it}$SAuct : ἀναγαγεῖν N$^{1sl}$ (ex lin. seq. Κέρβερον ἀναγαγεῖν), sed postea del. : ἄγειν Γ   τὰ$^{2}$ om. **a**   Ἑσπερίδων] ἑ- Π   5 πόνους ἄλλους **a**   ἔμελλεν Θ$^{2pc}$ **c** : ἤμελλεν Γ Λ : ἔμελλον Θ$^{ac}$   6 ὠφελήσειν Γ (ὠφελήσειν*) Δ$^{1pc}$ Θ **c** : ὠφελήσεις Δ$^{ac}$ : ὠφελεῖν Λ   κινδυνεύειν S$^{it}$, σ S$^{1sl}$   **25** 1 αὑτοῦ ΓΔ$^{pc}$ ΘAuct : αὐ- Δ$^{ac}$ ΛΠNS 2 προῃρεῖτο Γ ΘΠNS (-η- Γ ΠNS) : -ήρητο Λ : -ειρήτο Auct   ἐξ ὧν] ἐξῶν Π   ἔμελλεν **a** : ἤμελλεν Γ$^{ac}$Δ$^{1γρ}$ : ἤλπιζεν Γ$^{1mg}$ (litt. unc.) Δ$^{it}$   ἑαυτοῦ **a**   3 γενήσεσθαι Γ : νομισθήσεσθαι **a** Καὶ om. Auct   ἀνεθέντα Γ ΛΠNS : ἀναιρεθέντα Θ : ἀναθέντα Auct   4 τὴν δὲ] τήν τε Auct πάντες Γ **a** : ἅπαντες coni. Münscher, *Quaestiones*, p. 30   5 πολλῆς Γ : μεγάλης **a**   πάντας τοὺς οἰκοῦντας **a** (-ού- Π)   6 ἀπήλλαξεν Γ Auct : -ξε ΘΛΠNS   **26** 1 γενόμενος** Π   καὶ$^{2}$ Γ$^{2sl}$ **a** : om. Γ$^{it}$, nescio an recte

ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ διενεγκόντες τὰς μὲν ἐπόρθουν, τὰς δ’ ἔμελλον, ταῖς δ’ ἠπείλουν τῶν πόλεων, τούτους μάχῃ νικήσας εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ’ ὕστερον καὶ τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν. **27** Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τὸ τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον δ’ ἐκ Πασιφάης τῆς Ἡλίου θυγατρὸς, ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους καὶ πανδημεὶ προπεμπομένους ἐπὶ θάνατον ἄνομον καὶ προῦπτον καὶ πενθουμένους ἔτι ζῶντας, οὕτως ἠγανάκτησεν, ὥσθ’ ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον ἢ ζῆν ἄρχων τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης. **28** Σύμπλους δὲ γενόμενος καὶ κρατήσας φύσεως ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμειγμένης, τὴν δ’ ἰσχὺν ἐχούσης, οἵαν προσήκει τὴν ἐκ τοιούτων σωμάτων συγκειμένην, τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκεν, τὴν δὲ πόλιν οὕτως ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου

---

π2 (**26** 2 δι]ẹνεγκόν[τες – 5 ἠφ̣ά̣[νιcεν); Γ (Δ) Θ Λ Π N S Auct

---

2 καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ Γ$^{5pc}$ Λ : καὶ τάχει καὶ τόλμῃ καὶ ῥώμῃ Θ : καὶ τάχει καὶ ῥώμῃ Γ$^{1 vel 2 pc}$ **c** : τάχει καὶ ῥώμῃ Γ$^{ac}$   3 ἐπόρθουν τὰς π2 (επορθου]ν̣ [τ]αc) Γ ΘΛΠSAuct : ἐπόρθοαυτὰς (sic) N   τὰς δ’ π2 Γ : τὰς δὲ **a**   ἔμελλον **a** : ἤ- π2 Γ   δ’ ἠπείλουν Γ : δὲ ἠ. **a** : [π2]   4 ὕστερον π2 **a** : ὕ. χρόνῳ Γ   καὶ π2 : om. Γ **a**   5 ἠφάνισεν Γ Auct$^{ac}$ : ἠφάνισε Δ (ἠ ex corr. Δ$^{1}$) ΘΛΠNSAuct$^{pc}$ (alia m.) : ηφ̣α̣[ π2   **27** 1 δὲ om. **a**   τὸ τέρας om. Θ   2 ἐν om. Π$^{it}$, add. Π$^{1sl}$   κρίτη Λ$^{ac}$, corr. Λ$^{2}$   γενόμενον] τεμενον Γ$^{ac}$, corr. Γ$^{2}$   δ’ Γ Θ$^{2pc}$ : δὲ **b** : om. Θ$^{ac}$   ᾧ κατὰ om. Auct (spatium vacuum reliquit)   3 ἑπτὰ] ἐ- Π   ἀποστελούσης Π$^{it}$, λ Π$^{1sl}$   ἰδὼν] -ῶν Π   4 πάνδημον Λ   προῦπτρον Λ$^{ac}$, corr. Λ$^{?}$   5 τεθνάναι] -ᾶ-ΛSAuct, -ᾶ́- (sic) N   6 ἄρχων Γ$^{it}$ : αἰσχρῶς ἄρχων Γ$^{2mg}$Δ$^{1pc}$ **a** (αἰσ S$^{pc}$ alia m.) : αἰσχρῶς Δ$^{ac}$   πόλεως] πόλεου (sic) N   τῆς$^{2}$] τοῖς N$^{ac}$, corr. N$^{1?}$   οἰκτρὸν] οἰχθρὸν (sic) N   φόνον Auct   ὑποθελεῖν N$^{ac}$, corr. N$^{?}$ (rubr.)   **28** 2 μεμειγμένης coni. Drerup, *Opera*, p. 71 : μεμιγμένης Γ ΘΛΠNSAuct$^{1pc}$ : γενομένης Auct$^{ac}$   δὲ Θ   ἰσχὺν] ἰ ex corr. S   οἵαν ΓΔ$^{pc}$ Θ **c** : οἷαν Δ$^{ac}$ Λ   προσήκει∗ Γ   3 ἐκ σωμάτων τοιούτων **a** (ἐκ τῶν σ. τ. N$^{ac}$, corr. N$^{?}$)   συνκειμένην S   γονεῦσιν] -εύ- Π   4 ἀπέδωκεν Γ Λ : -κε Θ **c**   δυσαπαλλάκτου Γ$^{5pc}$ ΘΛNSAuct : δυσαπάλλακτον Π : δυσαπαραλλάκτου Γ$^{ac}$

προστάγματος ἠλευθέρωσεν.

**29** ’Απορῶ δ’ ὅ τι χρήσωμαι τοῖς ἐπιλοίποις· ἐπιστὰς γὰρ ἐπὶ τὰ Θησέως ἔργα καὶ λέγειν ἀρξάμενος περὶ αὐτῶν, ὀκνῶ μὲν μεταξὺ παύσασθαι καὶ παραλιπεῖν τήν τε Σκίρωνος καὶ Κερκύονος καὶ τῶν ἄλλων τῶν τοιούτων παρανομίαν, πρὸς οὓς ἀνταγωνιστὴς γενόμενος ἐκεῖνος πολλῶν καὶ μεγάλων συμφορῶν τοὺς Ἕλληνας ἀπήλλαξεν· αἰσθάνομαι δ’ ἐμαυτὸν ἔξω φερόμενον τῶν καιρῶν καὶ δέδοικα, μή τισι δόξω περὶ τούτου μᾶλλον σπουδάζειν ἢ περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην. **30** ’Εξ ἀμφοτέρων οὖν τούτων αἱροῦμαι τὰ μὲν πλεῖστα παραλιπεῖν διὰ τοὺς δυσκόλως ἀκροωμένους, περὶ δὲ τῶν ἄλλων, ὡς ἂν δύνωμαι, συντομώτατα διελθεῖν, ἵνα τὰ μὲν ἐκείνοις, τὰ δ’ ἐμαυτῷ χαρίσωμαι, καὶ μὴ παντάπασιν ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν καὶ τοῖς λεγομένοις ἅπασιν ἐπιτιμᾶν.

**31** Τὴν μὲν οὖν ἀνδρείαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις, ἐν οἷς αὐτὸς καθ’ αὑτὸν ἐκινδύνευσεν, τὴν δ’ ἐπιστήμην, ἣν εἶχε πρὸς τὸν πόλεμον, ἐν ταῖς μάχαις, ἐν αἷς μεθ’ ὅλης τῆς πόλεως ἠγωνίσατο, τὴν δ’ εὐσέβειαν τὴν πρὸς τοὺς

---

Γ (Δ) Θ Λ Π Ν S Auct

---

5 προσταγμάτος Λ **29** 1 δ’ Γ NAuct : δὲ ΘΛΠS χρήσωμαι ΓΔ$^{ac}$ : -σο- Δ$^{pc}$ (alia m. vid.) **a** 2 ἀρξάμενος] ἄρξομαι Auct καὶ$^{2}$ om. **c** 3 παραλιπεῖν Γ ΘΛΠΝ$^{it}$S : -λειπεῖν Auct : -λιπὼν Ν$^{1?sl}$ τε om. **a** σκίρωνος Γ ΘΛ$^{ac}$Auct : -εί- Λ$^{2pc}$ΠNS 5 Ἕλληνας] ἕ- Π ἀπήλαξεν Π$^{it}$, λ Π$^{1sl}$ δὲ Θ φαιρόμενον Ν$^{it}$, ε Ν$^{1sl}$ 6 τισι Γ$^{pc}$ **a** : τισιν Γ$^{ac}$ **30** 1 οὖν] μὲν οὖν Auct αἱροῦμαι] αἰ- S 2 παραλειπεῖν Auct 3 τὰ δ’] τάδ’ Λ 4 πανδάπασιν (sic) S ἡτθητῶ (sic) N 5 ἐπιτιμᾷν Auct **31** 1 ἐπεδείξατο] ἐπέδείξατο (sic) S 1-2 αὐτὸς καθ’ αὑτὸν ἐκινδύνευσεν ΓΔ ΘΛ (-σε Δ ΘΛ) : ἐκινδύνευσεν αὐτὸς καθ’ αὑτόν **c** (αὐτος sine acc. S, καθαυτόν ΠS, καθ’ αὐτόν N) 2 δὲ Θ εἶχε Δ **a** : εἶχεν Γ 3 ἐν αἷς] ἐν del. Blass, *Orationes*, I, p. LI μεθ’ ὅλης] μεθόλης Π

θεοὺς ἔν τε ταῖς ᾿Αδράστου καὶ ταῖς τῶν παίδων τῶν Ἡρακλέους ἱκετείαις – τοὺς μὲν γὰρ μάχῃ νικήσας Πελοποννησίους διέσωσεν, τῷ δὲ τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ Θηβαίων θάψαι παρέδωκεν – τὴν δ᾿ ἄλλην ἀρετὴν καὶ σωφροσύνην ἔν τε τοῖς προειρημένοις καὶ μάλιστ᾿ ἐν οἷς τὴν πόλιν διῴκησεν. **32** Ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ἄρχειν ζητοῦντας ἑτέροις δουλεύοντας καὶ τοὺς ἐπικίνδυνον τὸν βίον τοῖς ἄλλοις καθιστάντας αὑτοὺς περιδεῶς ζῶντας καὶ πολεμεῖν ἀναγκαζομένους μετὰ μὲν τῶν πολιτῶν πρὸς τοὺς πολεμίους, μετ᾿ ἄλλων δέ τινων πρὸς τοὺς συμπολιτευομένους, **33** ἔτι δὲ συλῶντας μὲν τὰ τῶν θεῶν, ἀποκτείνοντας δὲ τοὺς βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς οἰκειοτάτοις, οὐδὲν δὲ ῥᾳθυμότερον ζῶντας τῶν ἐπὶ θανάτῳ συνειλημμένων, ἀλλὰ τὰ μὲν ἔξω ζηλουμένους, αὐτοὺς δὲ παρ᾿ αὑτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους **34** – τί γάρ ἐστιν ἄλγιον ἢ ζῆν ἀεὶ δεδιότα, μή τις

---

Γ (Δ) Θ Λ Π N S Auct

---

**33** 3 ἀπιστοῦντας – οἰκειοτάτοις *AB* p. 121.26

---

4 ἔν τε ταῖς] ἐντεταῖς N    τῶν$^{2}$ om. Auct    ἱκετείας S    5 πελοποννησίους ΛSAuct : -πονησίους Γ ΘΠ : -ποννησσίους N    διέσωσεν Γ ΠNS : -σε Δ ΘΛAuct    5-6 τῇ καδμείᾳ Γ : τὴν καδμείαν ΘΛΠSAuct : τὴν καδμείων N    6 θάψειν Auct    παρέδωκεν Γ$^{ac}$ Θ$^{ac\ vel\ pc}$ : -κε Γ$^{5pc}$ Θ$^{pc\ vel\ ac}$ **b**    δ᾿ Γ **c** : δὲ ΘΛ    7 καὶ σωφροσύνην Γ : κ. τὴν σ. **a** : del. Kayser, p. 373    ἔν τε τοῖς] ἐντετοῖς N    προειρημένοις] προεὶρ- Π    μάλιστα **a**    8 διῴκησεν Γ$^{it}$ Δ$^{pc}$ (alia m.) ΘΛΠN : δϊώκϊσεν S : διώκησμεν Auct : διέσωσεν (ex **31** 5) Γ$^{1mg}$ (litt. unc.) Δ$^{ac}$    **32** 1 ἄρχειν ζητοῦντας ΘΛΠS : ἀρχὴν ζητοῦντας N : ζητοῦντας ἄρχειν Γ : ἄρχειν (om. ζητοῦντας) Auct    ἑτέροις] ἑ- Π    3 τῶν πολιτῶν] τῆς πόλεως **b**    4 πολεμίους] ἐπιστρατευομένους Λ    μετὰ δ᾿ ἄλλων τινῶν Γ    συμπολιτευμένους S    **33** 2 ἀποκτείνοντας Γ Auct : -κτειννύντας ΘΛ : -κτινύντας ΠS : -κτιννύντας N    3 ἀπιστοῦντας δὲ] δὲ om. Π *AB*    οἰκειοτάτοις Γ ΘΛΠNS *AB* : οἰκειστάτοις (sic) Auct    3-4 τῶν ἐπὶ θανάτῳ συνειλημμένων om. Auct    4 μὲν om. **a**    αὑτοῖς Ξ Laur.58.14 Leid Par.2991 Ricc Med. : αὐτοῖς Γ ΘΛΠNS : αὐτοὺς Auct    **34** 1 ἄργιον N$^{ac}$, corr. N$^{1}$ (*dolentius* s.l.)    ἀεὶ Γ$^{5sl}$ **a** : om. Γ$^{it}$    δεδοιότα S

αὐτὸν τῶν παρεστώτων ἀποκτείνῃ, καὶ μηδὲν ἧττον φοβούμενον τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας; – τούτων ἁπάντων καταφρονήσας καὶ νομίσας οὐκ ἄρχοντας, ἀλλὰ νοσήματα τῶν πόλεων εἶναι τοὺς τοιούτους, ἐπέδειξεν ὅτι ῥᾴδιόν ἐστιν ἅμα τυραννεῖν καὶ μηδὲν χεῖρον διακεῖσθαι τῶν ἐξ ἴσου πολιτευομένων. **35** Καὶ πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν εἰς ταὐτὸ συναγαγὼν τηλικαύτην ἐποίησεν, ὥστ’ ἔτι καὶ νῦν ἀπ’ ἐκείνου τοῦ χρόνου μεγίστην τῶν Ἑλληνίδων εἶναι· μετὰ δὲ ταῦτα, κοινὴν τὴν πατρίδα καταστήσας καὶ τὰς ψυχὰς τῶν συμπολιτευομένων ἐλευθερώσας, ἐξ ἴσου τὴν ἅμιλλαν αὐτοῖς περὶ τῆς ἀρετῆς ἐποίησεν, πιστεύων μὲν ὁμοίως αὐτῶν προέξειν ἀσκούντων ὥσπερ ἀμελούντων, εἰδὼς δὲ τὰς τιμὰς ἡδίους οὔσας τὰς παρὰ τῶν μέγα φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων. **36** Τοσούτου δ’ ἐδέησεν ἀκόντων τι ποιεῖν τῶν πολιτῶν, ὥσθ’ ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας, οἱ δὲ μόνον αὐτὸν ἄρχειν ἠξίουν, ἡγούμενοι πιστοτέραν καὶ κοινοτέραν εἶναι τὴν

---

Γ (Δ) Θ Λ Π N S Auct

---

**35** 1 πρῶτον μὲν – 2 συναγαγὼν imitatus est Them. *Or.* 26.318c8-d1

---

2 αὑτὸν coni. Benseler, *Orationes*, I, p. XXXII : αὐτὸν Γ ΘΛ : αὐτῶν **c**  παρεστώτων Γ ΛΠNAuct : -εστότων S : -εστηκότων Θ  ἀποκτείνῃ ΓΔ$^{1pc}$ ΘΛΠN$^{1sl}$SAuct : -κτείνει Δ$^{ac}$ : -κτίνη N$^{it}$  φυλάσσοντας Θ  3 οὐχ N$^{it}$, κ N$^{1sl}$  4 νοσήματα] νόσημα Θ  τοιούτους] τούτους N$^{it}$, οι N$^{1sl}$  ἐπέδειξεν Γ$^{it}$ Π : ἀπ- Γ$^{5sl}$ ΘΛNSAuct  ῥᾴδιόν Γ (ῥάιδ-) Auct (ῥάδ-) : ῥᾷόν ΘΛΠNS  5 χεῖρον Γ$^{it}$Δ$^{1γρ}$ **a** : ἧττον Γ$^{1mg}$ (litt. unc.) Δ$^{it}$  ἐξ ἴσου Γ ΛAuct : ἐξίσου ΘΠNS  **35** 1 καὶ$^{2}$ om. Auct  οἰκοῦσαν Γ$^{it}$ **b** Them. : οἰκουμένην Γ$^{5sl}$ Θ  ταὐτὸν **a**, nescio an recte  2 συναγαγὼν] -ῶν Π  3 ἑλληνίδων Γ ΘΛN$^{3?pc}$ : ἑλληνικῶν Auct$^{it}$ : ἑλλήνων ΠN$^{ac}$SAuct$^{1γρ}$  κοινὴν] καὶνὴν (sic) Π  4 καὶ ΓΔ$^{ac}$ **a** : τε Δ$^{1pc}$ (vid.)  ἐξ ἴσου Γ Λ (ἴ ex corr.) N : ἐξίσου Δ ΘΠSAuct  ἅμιλλαν ΓΔ$^{pc}$ (alia m.) ΘNS : ἄ- Δ$^{ac}$ ΛΠAuct  αὐτοῖς] αὐτῆς S$^{ac}$, corr. S$^{1?}$  5 τὴν ἀρετὴν **a**  ἐποίησεν Γ$^{ac}$ : -σε Γ$^{5pc}$ **a**  αὐτῶν Γ ΘΠN$^{ac}$SAuct : αὐτῷ ΛN$^{pc}$  προέξειν] πράξεις Auct  ἀσκούντων∗ Γ  6 τιμὰς] τινὰς Auct  ἡδίους Γ$^{pc}$ ΘΛ : ἡδείους Γ$^{ac}$ **c**  6-7 μεγαφρονούντων S  **36** 1 τοσούτου δ’ Γ$^{ac}$ : τοσούτου Γ$^{5?pc}$ : τοσούτων Θ : τοσοῦτον **b**  2 ὁ∗ Γ  τὸν] τοῦ Auct$^{ac}$, corr. Auct$^{1}$ inter scrib.  καθίστα Θ  πολητείας Auct

ἐκείνου μοναρχίαν τῆς αὑτῶν δημοκρατίας. Οὐ γὰρ, ὥσπερ ἕτεροι, τοὺς μὲν πόνους ἄλλοις προσέταττεν, τῶν δ’ ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν, ἀλλὰ τοὺς μὲν κινδύνους ἰδίους ἐποιεῖτο, τὰς δ’ ὠφελείας ἅπασιν εἰς τὸ κοινὸν ἀπεδίδου. **37** Καὶ γάρ τοι διετέλεσε τὸν βίον οὐκ ἐπιβουλευόμενος, ἀλλ’ ἀγαπώμενος, οὐδ’ ἐπακτῷ δυνάμει τὴν ἀρχὴν διαφυλάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ μὲν ἐξουσίᾳ τυραννῶν, ταῖς δ’ εὐεργεσίαις δημαγωγῶν· οὕτω γὰρ νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν, ὥστ’ ἔτι καὶ νῦν ἴχνος τῆς ἐκείνου πρᾳότητος ἐν τοῖς ἤθεσιν ἡμῶν καταλελεῖφθαι.

**38** Τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διὸς, κρατήσασαν δὲ τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ ἐπαινεῖν χρὴ καὶ τιμᾶν καὶ νομίζειν πολὺ τῶν πώποτε γενομένων διενεγκεῖν; Οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως διανοίας. Ἵνα δὲ μὴ δοκῶ δι’ ἀπορίαν περὶ τὸν αὐτὸν τόπον διατρίβειν,

---

Γ (Δ) Θ Λ Π N S Auct

---

**38** 5 Ἵνα δὲ – 7 διελθεῖν imitatus est [Luc.] *Charid.* 19 (p. 399.21-22)

---

